τὴν ἀρράβιον· βαθυτέρην δὲ ἀντὶ τοῦ βαθυτάτην συντροφὰς ἔχουσα· τὴν γὰρ εὔτροφον λέγει τοὺς δύο νότους· τὸ δὲ ἄλλον ἐπὶ τοῦ βορρᾶν ὁρῶντα, ἐπὶ τὴν λίβαν τὸν γάτονα τοῦ εὐξείνου πόντου· πρὸς ὃν τινα ξένον δηλονότι πόντον καὶ ὑρκάνιον πολλοὶ κατοικοῦσιν ἄνδρες:

μέσον δ' ἀμφοτέρας χθονὸς ἄσπετος ἰσθμὸς ὁρίζει
τῇ καὶ τῇ μακροῖσι τιταινόμενος πεδίοισι·
μέσσην γὰρ τέμνων πάσης ἀσίης ὄρος ἀμφιβέβηκεν
ἀρξάμενον γαίης παμφυλίδος ἄχρις ἰνδῶν
ἄλλοτε μὲν λοξόν τε καὶ ἀγκύλον ἄλλοτε δ' αὖτε
ἰθυτενὲς προταθέν· ταῦρον δέ ἑ κικλήσκουσιν
οὕνεκα ταυροφανές τε καὶ ὑψικάρηνον ὁδεύει
οὔρεσιν ἐκ ζαθέοισι· πολυσχιδέες δέ οἱ ἄκραι
ἐκ τοῦδ' ἀπειρέσιοι ποταμοὶ κατὰ χεύονται·
οἱ μὲν, ἐς βορέην οἱ δ' ἐς νότον· οἱ δὲ περὶ πνοὴν
εὔρου καὶ ζεφύροιο· τὰ δ' αὖ κατὰ τοὔνομα τέμνει
οὐ μὲν ἐπωνυμίην μίαν ἔλλαχεν ἀλλ' ἐνὶ πάσῃ
οὔνομ' ἔχει σκοπιῇ· τὰ δ' ἂν κείνοισι μέλοιτο
ἀνθρώποις οἳ κεῖθι χῶρον ὁμούριον οἰκ(ν)έουσι
νῦν γ' ἐμὲ ἔθνεα πάντα δ' ἵξομαι ὅσσα περὶ δηλα
ἰνδικά· μοῦσα δ' ὄπισθεν ἴχνος ἀγείρει:

ἀμφοτέρων δὲ τῶν δύο τούτων ἄπειρος ἰσθμὸς μέσον τὰ χωρίζει ἔνθεν καὶ ἔνθεν ἐν τοῖς μακροτάτοις πεδίοις ἐκτεινόμενος· ἐν μέσῳ δὲ πάσης τῆς ἀσίας ὄρος ἐπιβέβηκε, ἀπὸ τῆς παμφυλίδος γῆς ἀρξάμενον μέχρι καὶ ἰνδῶν· ἄλλοτε μὲν, λοξὸν καὶ ἀγκύλον ἄλλοτε δὲ ὀρθότερον ἰχνοῦν· ταῦρον δὲ καλοῦσιν αὐτὸ ὅτι ταυροφανές ἐστι καὶ ὀξυκέφαλον· ὡς τελοφοῦντα εἰς ὕψος· ὧ δὲ πολυσχιδὲς ὅ ἐστι πολυ